Θέμα εργασίας: Ρωμαϊκές διαιτησίες σε διαφορές μεταξύ ελληνικών πόλεων

Μαγνησία – Πριήνη μέσα 2ου αι.π.Χ.

SIG 679

34 [. c.4. δόγμα τὸ κομισθὲν παρ]ὰ τῆς συγκλήτου{υ} Ῥω[μαίων ὑπὸ τῶν ἀποσταλέντων πρεσβευτῶν]

35 [ὑπὲρ τῶν πρὸς Πριηνεῖς.] **Μάαρκος Αἰμύλιος Μαάρκου [υἱὸς στρατηγὸς Μυλασέων]**

**[βουλῆι καὶ δήμωι χαί]ρειν.** πρεσβευταὶ Μάγνητες κα[ὶ Πριηνεῖς ἐμοὶ προσήλθοσαν]

[ὅπως αὐτοῖς σύγκλ]ητον δῶι· τούτοις ἐγὼ σύγκλητον ἔδ[ωκα. συγκλήτου δόγμα· πρὸ ἡμε]-

[ρῶν . . . . c.13. . . . . ]βρίων ἐγ κομετίωι· γραφομένου παρῆσ[αν —]

[. . . . c.12. . . . Φο]ντήϊος? Κοΐγκτου Παπειρία, Τίτος Μάλλιος Φα[—]

40 [. . . . . c.15. . . . . . ] περὶ ὧν **Μάγνη[τε]ς πρεσβευταὶ** Πυθόδωρος Ἡράκλ[ειτος — ἄν]-

[δρες καλοὶ κἀγαθ]οὶ παρὰ δήμου καλοῦ καὶ ἀγαθοῦ καὶ φίλου συμμ[άχου τε ἡμετέ]-

[ρου κατὰ πρόσω]πον λόγους ἐποιήσαντο καὶ περὶ ὧν **Πριηνεῖς πρε[σβευταὶ** . c.5. ]

[. c.3. ]νης ἄνδρες καλοὶ καὶ ἀγαθοὶ καὶ φίλοι παρὰ δήμου καλοῦ κα[ὶ ἀγαθοῦ καὶ φί]-

[λ]ου σ[υ]μμάχου τε ἡμετέρου κατὰ πρόσωπον **λόγους ἐποιήσαντο περὶ ἧς**

45 **χώρας ἐξεχώρησαν Μάγνητες** καὶ τὴν κατοχὴν ταύτης τῆς χώρας ἐξεχώ[ρησαν]

δήμωι Πριηνέων κατὰ τὸ τῆς συγκλήτου δόγμα **ὅπως κριτήριον δοθῇ**· περὶ το[ύτου τοῦ]

πράγματος οὕτως ἔδοξεν· **ὅπως Μάαρκος Αἰμύλιος Μαάρκου υἱὸς στρατηγὸς δ[ῆμον ἐ]-**

**λε[ύ]θερον κριτὴν δῶι,** ὃς ἂν ἐν αὐτοῖς ὁμόλογος γενηθῇ· ἐὰν δὲ ἐν αὐτοῖς ὁμόλογος [μὴ γίνη]-

ται, ὅπως Μάαρκος Α[ἰ]μύλιος Μαάρκου υἱὸς στρατηγὸς δῆμον ἐλεύθερον κριτὴ[ν δῶι]

50 εἰς τούτους τοὺς λόγους οὕτως, καθὼς ἂν αὐτῶι ἐκ τῶν δημοσίων πραγμάτω[ν πίστε]-

ώς τε τῆς ἰδίας φαίνηται· 51 ἔδοξεν· ὃς **κρινεῖ Μάγνησιν καὶ Πριηνεῦσιν περὶ ταύ[της τῆς]**

**χώρας** τῆς παρὰ Πριηνέων ἀποκεκριμένης οὔσης, ἐξ ἧς χώρας Μάγνητ[ες ἑαυ]-

τοὺς ἔφασαν ἐκκεχωρηκέναι, *ὁπότερον ἂν τούτων δήμων εὑρίσκηται ταύτην*

*χώραν εἰσχηκέναι, ὅτε εἰς τὴν φιλίαν τοῦ δήμου τοῦ Ῥωμαίων παραγένετο*, ταύτη[ν]

τὴν χώραν ὅπως αὐτῶι προσκρίνῃ ὅριά τε στήσῃ· ἔδοξεν· ὡσαύτως περὶ ὧν οἱ αὐτοὶ Πρι-

ηνεῖς πρεσβευταὶ κατὰ πρόσωπον πρὸς Μάγνητας πρεσβευτὰς λόγους ἐποιήσαν-

το περὶ ἀδικημάτων ἃ αὐτοῖς Μάγνητες πεποιήκεισαν, περὶ τούτου πράγματος οὕ-

τως ἔδοξεν, ὅπως Μάαρκος Αἰμύλιος Μαάρκου υἱὸς στρατηγὸς τὸν αὐτὸν δῆμον

[κρῖν]αι κελεύσ[ῃ], ὃς ἂν περὶ χώρας κριτὴς δεδομένος ᾖ, ὃς κρινεῖ ταῦτα ἀδικήματα· εἰ γεγο-

[νότ]α εἰσὶν ὑπὸ Μαγνήτων, ὅσον ἂν καλὸν καὶ δίκαιον φαίνηται, διατιμησάσθω, καὶ ὅπως

[εἰς] τὸν αὐτὸν δῆμον κριτὴν Μάαρκος Αἰμύλιος Μαάρκου υἱὸς στρατηγὸς περὶ τούτων τῶν

[πραγ]μάτων γράμματα δῶι, πρὸς ἣν ἂν ἡμέραν ἑκάτεροι παραγίνωνται πρὸς ἑκάτερα τὰ κρί-

[ματ]α [καὶ καθ᾽] ἥ[ν ἅ]ν ἡμέραν κρίνωσι [. c.4. ὅ]πως καὶ [—]

IMagnesia 104

Ψήφισμα Μαγνήτων σχετικά με την υπέρ τους απόφαση από Μυλασείς διαιτητές και απόδοση τιμών.

[. . . . . c.15. . . . . . ]ν δῆμος . . . . . . . c.18. . . . . . . ε. . οσ[. . . . . . . . . c.22. . . . . . . . . ]

. . κατεσχηκὼς τὴν χώραν, **ὅπως οἱ δικασταὶ προκ[ρ]ίν[ω]σι τοῖς Μυλ[ασέων νόμοις** καὶ] [...]

**δεδόχθαι τῆι βουλῆι καὶ τῶι δήμωι· ἐπηνῆσθαι τούς τε ἐγδίκους καὶ τοὺς . ε[—]**

**ἐπὶ τῶι προθύμως προ{σ}στῆναι ὑπὲρ τῶν τῆς πατρίδος δικαίων**, [χειροτονηθῆναι δὲ]

ἄνδρα, ὃς μετὰ τοῦ ἀρχιτέκτονος Κρατίνου ἐγδώσει **κα[τ]ασκευάσα[ι στήλην λευ]-**

**κοῦ λίθου, ἣν καὶ στησάτω πλησίον τῆς προϋπαρχούση[ς] π[ερὶ τούτ]ο[υ τοῦ πράγματος,]**

**[...] καὶ φιά]-**

**λην κατασκευα[σάτω] χ<αλ>κῆν, ἣν καὶ στησάτω ἐπὶ τῆς παραστάδος τῆς νοτίας με<τ'> ἐπιγραφ[ῆς]**

τῆσδε· "**ὁ δῆμος νικήσας τὸ δεύτερον Πριηνεῖς** τῆι ὑπὲρ τῆς χώρας κρί[σει ἐπὶ Μυλα-

[σέ]ων δικαστηρίου, ἐγδικησάντων τῶν ὑπογεγραμμένων [ἐγδίκ]ων καὶ ε[. . . c.10. . . τῆι] π[ατρί]-

δι καὶ Ἀρτέμιδι Λευκοφρυηνῆι" [...]

IMagnesia 46

Ψήφισμα Μύλασας για τη διαμάχη Μαγνήτων - Πριηνέων

[...][. . . . . . . . . . . . . . . . c.36. . . . . . . . . . . . . . . . **π]ρησθέντων στεγνῶν ἐν τῆι καταδρομῆ[ι]**

[ἀδύνατον ἦν] κατανοεῖν **[τὰ ἐμπ]ρη[σθέν]τα ἐν τῆι Πριηνίδι**, διὰ τίνα αἰτίαν οὔτε ἐφυ-

[λάττετο οὔ]τε διακατείχετο ὑπ’ οὐ[δ]ενὸς Πριηνέως, εἴτε καὶ**, ὡς ἐλέγοσαν οἱ Πριη-**

**[νέων ἔγδι]κοι, Λύσανδρόν τινα Πριηνῆ πεπιστεῦσθαι ταῦτα** πρότερον ὑπὸ τῶν

[περὶ τὸν Ζ]ηνόδοτον **καὶ γενέσθαι κατάδικον Λύσανδρον ὑπὲρ παρορίας**, [...]

Μελιταία – Ναρθάκιον γύρω στο 140π.Χ.

SIG 674

a.1 [στρατ]ạγέοντος τῶν Θεσσαλῶν Λέοντος

[τοῦ Ἀγ]ησίππου Λαρισαίου, ἐν δὲ Ναρθακίω[ι]

[ἀρχόν]των Κρίτωνος τοῦ Ἀμεινία, Πολυκλέος

[τοῦ Φει]δίππου, Γλαυκέτα τοῦ Ἀγελάου, ἀν[ε]-

[γράφη τὸ] δόγμα τὸ γενόμενον ὑπὸ συγκλ[ή]-

[του ἐπὶ σ]τρατηγοῦ τῶν Θεσσαλῶν Θεσσα-

[λοῦ τοῦ] Θρασυμήδεος Φεραίου. vacat

[Γάϊος Ὀσ]τίλιος Αὔλου υἱὸς Μαγκῖνος στρα-

[τηγὸς τ]ῆι συγκλήτωι συνεβουλεύσατο πρὸ

[— — Νω]νῶν Κοϊντιλίων· ἐγ Κομετίωι γραφο-

[μένωι π]αρῆσαν Κόϊντος <Σ>τατιληνὸς Κοΐντου

[υἱὸς Κορ]νηλία, Γναῖος Λοτάτιος Γναίου υἱὸ[ς]

[Ἀνιήν]ση , Αὖλος Σεμπρώνιος Αὔλου υἱὸς Φα-

[λέρνα]. v περὶ ὧν **Θεσσαλοὶ Μελιταιεῖς** Ἁρμο-

[— — — —]σάνδρου, Λαμπρόμαχος Πολίτα

[πρεσβευ]ταὶ λόγους ἐποιήσαντο, ἄνδρες κα-

[λοὶ κἀγ]ạθοὶ καὶ φίλοι παρὰ δήμου καλοῦ

[κἀγαθο]ῦ καὶ φίλου συμμάχου, χάριτα

[φιλίαν σ]υμμαχίαν τε ἀνενεώσαντο, **πε-**

**[ρὶ χώρας] δημοσίας καὶ περὶ χωρίου ἐρήμου**

[— — —ο]υ, *μεθ' ἧς χώρας εἰς τὴμ φιλίαν τοῦ*

*[δήμου τ]οῦ Ῥωμαίων vv  παρεγένοντο*, ἣγ χώ-

[ραν Ναρθα]κιεῖς μετὰ ταῦτα ἑαυτῶν ἀδίκως

[ἐποιήσαντ]ο· περὶ τούτου τοῦ πράγματος ὅπως

[τὴν διάνοι]αν πρόσ<σ>χωσιν, **ὅπως τοῦτο τὸ πρᾶ-**

**[γμα ἀκέραịον αὐτοῖς ἀποκατασταθῇ οὕτω**

**[καθὼς πρότερο]ν ἐπὶ Μηδείωι** καὶ ἐπὶ Θεσσαλῶν

[— — — — — —]ων **καὶ ἐπὶ τῶν περὶ Πύλλον Μακε-**

**[δόνων κεκ]ρ̣ịμένον αὐτοῖς ἦν, ταῦτά τε τὰ κρ̣[ί]-**

**[ματα κύρια ὅπ]ως ᾖ·** περὶ τούτου τοῦ πράγμα-

[τος συνευδόκ]ησεν ἡμῖν καὶ Ναρθακιεῦσι{Ι}ν

[ὅπως τὸν ἀγῶν]α τὸν παρόντα κρίνῃ ἐμ Μ[ελι]-

[τείαι? — — — —]ν ταύτηι τῆι χώραι [— — — —]

[ἀμφοτέρων] τῶν δήμων ε[— — — — — — — —]

[— — — — —] ἐστιν ὧι <φ>α[— — — — — — —]

face b.1[— — — — —]ΙΗ̣Ι̣Ι̣Ι̣Ν̣Η̣Ι̣[. ]Ι̣Ι [καὶ περὶ ὧν **Θεσσαλοὶ Ναρ]-**

**[θακιεῖς** Ν]ικάτας Τα[— — — — — — — — — — — — —]

[— — — πρεσβε]υταὶ λόγο[υς] ἐπ[οιήσαντο κατὰ πρό]-

[σωπον ἐν τῆι] συγκλήτ[ωι ἄνδρες — — — — — — κα]-

[λοὶ κἀγ]α̣θοὶ καὶ φίλοι παρὰ δήμου κ̣α̣[λοῦ κἀ]-
[γαθοῦ κα]ὶ φίλ[ου συμμάχου τε ἡμετέρου, χά]-
[ριτα φι]λίαν συ[μ]μα̣[χίαν τε ἀνενεώσαντο καὶ περὶ]
[τῶν πραγ]μάτω[ν τῶν καθ’ αὐτοὺς(?) — — — — **διελέ]-**
**[γ]ησαν περὶ χώρας [καὶ] ἰ̣[ε]ρ̣[ῶν** — — — — —]ΣΤ. [—]
ἀφ[ηι]ρῆ[σθαί] τ[ε τοὺς Μελιτ]α[ι]έας? ἀρχῆς Ναρ-
θακιέ[ω]ν ἐν [τ]ῆ[ι — —]τα[— —] *μετὰ τα[ύτης]*
*τ[ῆ]ς χώρας εἰς τὴν [φ]ιλία̣ν τ[οῦ δή]μου [τοῦ Ῥω]-*
*μ̣αίων Ναρθακιεῖς παραγ[εγονέν]αι,* κ̣[α]<ὶ> **περὶ**
**τῆς χώρας καὶ τῶν ἱερῶν κριτηρίοις [νεν]ικηκ[έ]-**
**ναι κατὰ νόμους τοὺς Θεσσαλῶν,** οἷς ν̣[ό]-
μοις ἕ̣ως τα̣[ν]ῦν χρῶνται, **ο[ὓ]ς νόμους Τίτος**
**Κοΐγκτιος ὕπατος ἀπὸ τῆς τῶν δέκα πρεσ-**
**βευτῶν γνώμης ἔδωκεν καὶ κατὰ δόγμα**
**συγκλήτου, περί τε τούτων τῶν π̣ραγμά-**
**[τω]ν ἔτει ἀνώτερον τρίτῳ̣ ἐπὶ τριῶν δικασ-**
**[τη]ρίων νενικηκέναι, ἐπὶ Σαμίων, Κολοφων[ί]-**
**[ων], Μαγνήτων, κεκ[ρι]μένα εἶναι κατὰ νόμου[ς],**
**ὅπως ταῦτα κύρια ᾖ̣** οὕτω καθὼς καὶ ἄλλοις
γεγονός ἐστιν· περὶ τούτου τοῦ πράγματος
**οὕτως ἔδοξεν**· χάριτα φιλίαν συμμαχίαν
[ἀ]νανεώσασθαι τούτοις τε φιλανθρώπως ἀ-
ποκριθῆναι· ἄνδρας καλοὺς κἀγαθοὺς προσ-
αγορεῦσαι· **ὅσα κεκριμένα ἐστὶν κατὰ νόμους,**
**οὓς Τίτος Κοΐγκτιος ὕπατος ἔδωκεν, ταῦτα κα-**
**θὼς κεκριμένα ἐστίν, οὕτω δοκεῖ κύρια εἶναι δεῖν,**
**τοῦτό τε μὴ̣ εὐχερὲς εἶναι ὅσα κατὰ νόμους κε-**

**κριμένα ἐστὶν ἄκυρα ποιεῖν·** ξένιά τε ἑκατέροις Γάϊ-

ος Ὀστίλιος στρατηγὸς τὸν ταμίαν δοῦναι κε-

[λ]εύσῃ ἀπὸ σηστερτίων νόμων ἑκατὸν εἴκοσι

[πέ]ν̣τε εἰς ἑκάστην πρεσβείαν οὕτω καθὼς ἂν

[αὐτῶι ἐ]κ̣ τῶν δημοσίων πραγμάτων πίστε-

[ώς τε τῆς] ἰδίας φαίνηται· ἔδοξεν.

ArchEph (1927/28) 119-127 ArchEph (1927/28) 127, n 1

[ ]Thessalia (Thessaliotis) — Itonion (Philia Karditsas) — ca. 142-140 BC [Kram. 142] — McDevitt 670 [bib.]

[…], **τάδε ἀπεφήναντο**

**ο̣ἱ ἀ̣π̣ο̣σ̣ταλέντες δικασταὶ πρὸς τὸ κοινὸν τῶν Θεσσαλῶν ὑπὸ**

**μὲν τοῦ δήμου τοῦ Κολοφωνίων** Διονύσιος Ἑρμασιάνακτος, Ἀ-

[— — — —]αντων. . **ὑπὸ δὲ τοῦ δήμου τοῦ Σαμίων** Νεοπτόλεμος Ἡ-

[γησίου?] Ζ̣ώπυρος Ἀπατουρίου, **ὑπὸ δὲ τοῦ Μαγνήτων δήμου […]**

Σάμος - Πριήνη

IPriene 40 πριν το 135π.Χ.

Ρωμαϊκά ψηφίσματα για διαμάχη Σάμου - Πριήνης

[— ἐσ]τιν· καὶ περ[ὶ ὧν οἱ]

[ἀποσταλέντες παρὰ Πριηνέων πρεσβευταὶ ἄνδρες καλοὶ καὶ] ἀγαθοὶ καὶ φίλοι

πα[ρὰ δήμου]

[καλοῦ καὶ ἀγαθοῦ καὶ φίλου λόγους ἐποιήσαντο συμμαχί]α̣ν τε ἀνενεώσαντο,

[καὶ πε]-

[ρὶ τῆς χώρας ἣν λέγουσιν ἑαυτῶν γενέσθαι πρὶν ἐληλυ]θ̣έναι εἰς ἐκείνην τὴν

χώραν Μ[άν]-

[λιον καὶ τοὺς δέκα πρεσβευτάς, ὅπως ταύτην ἔχ]ωσιν· καὶ ὅσα κριτήρια

κεκριμένα εἰσ[ὶ][περὶ ταύτης τῆς χώρας, ὅπως ταῦτα πάντα ἀναν]ẹωθῇ καὶ φιλανθρώπως {τε} αὐτοῖς ἀποκρι-

[θῇ· ἔδοξεν· καὶ ὅσα Πριηνεῖς λέγουσιν ἐπὶ το]σαῦτα ἔτη κατέχειν ἐκείνης τῆς

χώρας,

[περὶ τούτων οὕτω, καθὼς καὶ Ῥόδιοι κ]ε[κ]ρίκασιν, οὕτως δοκεῖ εἶναι· εἰ δέ

τί ἐστιν

[ἐναντίον ὧν ὡρισμένα ὑπὸ Ἀντι]γόνου ἐστίν, οὕτως φαίνεται δεῖν εἶναι· ξένιά

τε αὐ-

[τοῖς ἀποστεῖλαι τὸν ταμίαν ἕως ἀπὸ νό]μων σηστερτίων ἑκατὸν εἴκοσι πέντε

καθ’ ἑκάστην[πρεσβείαν,] καθὼς ἂν αὐτῶι ἐκ τ[ῶν δημοσίων πραγμάτων βέλτιστα? φ]ạίνη

[τ]αι· ẹ̓δοξε[ν.]

SIG 688/ IPriene 41 135π.Χ.

δόγμα τὸ κομισθὲν παρὰ τῆς συ[γκλήτου Ῥωμαίων ὑπὸ τ]ῶν ἀποσταλέντων πρεσβευτῶν ὑπὲρ τῶν πρὸς Σαμίους·

Σέρουιος Φόλουιος Κοίντου υἱὸς στ[ρατηγὸς ὕ]πατος, τῆι συκλήτωι συνεβουλεύσατο ἐγ κομετίωι πρὸ ἡμε-

ρῶν πέντε εἰδυιῶν Φεβροαρίων. γραφομ[ένωι παρ]ῆσαν Λεύκιος Τρεμήλιος Γναίου Καμελλία, Γάιος Ἄννιος Γαίου

Καμελλία, v1 Λεύκιος Ἄννιος Λευκίου Πο[λλία. π]ερὶ ὧν **Σάμιοι πρεσβευταὶ** Τηλέμαχος Μάτρωνος, Λέων Λέοντος,

ἄνδρες κα[λοὶ κ]αὶ ἀγαθοὶ καὶ φίḷοι παρὰ δ̣ήμο[υ καλοῦ] καὶ ἀγαθοῦ καὶ φίλου συμμάχου τε ἡμετέρου v **λόγους ἐποήσαντο**

κατὰ πρό[σ]ωπον πρὸς Πριην[ε]ῖς **π[ερὶ χ]ώρας [καὶ ὁρίων**, **ὅπως ὦσιν**,] **καθ̣ὼς** Γναῖο{ι}ς **Μάνλιος** καὶ οἱ δέκα πρεσβευταὶ διέταξαν

μετὰ τὸν πρὸς Ἀντίοχον πόλεμον· καὶ περὶ ὧν **Πριηνεῖς πρεσβευταὶ** [—]ρου, v1 Ἀνα[ξ]ι[—,]

[Ζ]ηνόδοτος Ἀρ[τέμωρος ἄ]νδρες καλοὶ καὶ ἀγαθοὶ καὶ φίλοι π[αρὰ δήμου κα]λοῦ καὶ ἀγ[αθοῦ] συμμάχου τε [ἡμετέρου]

**λόγους ἐποήσα[ντο** κατ]ὰ πρόσω[πον πρ]ὸς Σαμίου[ς] **περὶ χώρας καὶ περὶ ὁρίων**, **ὅπως οὕτω[ς ὦ]σιν**, **καθὼς ὁ δῆμος ὁ Ῥοδίων**

ἑκατέρων θελόν[τ]ων ἔκρινεν· περὶ τούτου τοῦ πράγματο[ς ἀποκρι]θῆναι οὕτως ἔδοξεν· ἡμῖν οὐκ εὐχ[ερ]ές {εἶναι} ἐστιν μετα-

θεῖναι ἃ ὁ δῆμος ὁ Ῥοδίων ἑκατέρων θελόντων κέκρι[κε κ]αὶ ὁρ[ισμὸν] πεποίηται, τοῦ μ[ὴ] τούτωι τῶι κρίματι καὶ τού[τοις τοῖς ὁρίοις]

ἐμμείνωσιν· **τ[ούτ]ωι τε τῶι κρίματι καὶ τού[τοις τοῖς ὁρίοις ἐμμένει]ν ἔδοξεν**· τούτοις τε ξένιον εἰς ἑκάστην πρεσβείαν ἕως

ἀπὸ σηστερτίων νόμων ἑκατὸν εἴκοσι [Σερούιος Φ]όλ[ο]υιος Κοίντου ὕπατος τὸν ταμίαν ἀποστεῖλαι κε[λευσάτω καὶ πραξάτω,]

καθὼς ἂν αὐτῶι ἐκ [τ]ῶν δημοσίων πραγμάτων [καὶ τῆς ἰδίας πίσ]τε[ως φαίνηται.] ἔδοξεν.

OGIS 13 283/2π.Χ.

Επιστολή Λυσιμάχου προς Σαμίους σχετικά με τη διαμάχη τους με τους Πριηνείς

1 **βασιλεὺς Λυσίμαχος** Σαμίων τῆι βουλῆι καὶ τῶι δήμωι χα̣ίρε̣ι̣[ν·

[κα]τέστησαν ἐφ' **ἡμᾶς οἵ τε πρέσβεις οἱ παρ' ὑμῶν καὶ οἱ παρὰ τῶν Πρ[ιη]-**

**νέων ἀποσταλέντες ὑπὲρ τῆς χώρας, [...]**

**οἱ μὲν οὖν Πριηνεῖς** τὴμ μὲν ἐξ ἀρχῆς γεγενημένην αὐτ̣[οῖς]

[**κτῆσι]ν τῆς Βατινήτιδος χώρας ἐπεδείκνυον [...]**

ἀπ̣[ο]-

[πεμφθῆναι οὖν παρὰ] Πριηνέων Βίαντα **περὶ διαλύσεων τοῖς Σα[μίοις]**

[πρεσβευτήν, τοῦτον δ]ὲ **διαλῦσαί** τε **τὰς πόλεις** καὶ **τοὺς οἰκοῦ̣ντας**

**[ἀποχωρῆσαι τῆς Βα]τινήτιδος χώρας**· πρότερομ μὲν οὖν ἔ[φασαν]

25[— — — — — — — —] μ̣ένειν ἐν τούτοις καὶ μέχρι τοῦ ἐσχάτου χρό-

[νου — — — — — —]ας, νῦν δὲ ἠξίουν ἡμᾶς κατὰ τὴ̣ν ἐ̣ξ ἀρχῆς κ[τῆ]-

[σιν ἀποδιδόναι αὐτοῖς] τ̣ὴγ χώραν· **οἱ δὲ παρ' ὑμῶν** ἀποσταλέντες

**[πρέσβεις τὴν κτῆσιν τὴ]ν γ̣εγενημένην αὐτοῖς τῆς Βατινήτιδος**

**[χώρας** ἔφασαν ἐκ προγόνων] παρειληφέναι· [...]

SIG 599 197 – 190π.Χ.

Η Ρόδος ως διαιτητής μεταξύ Σάμου - Πριήνης

**[…] ὑπὸ το]ῦ δά[μου]**

**τοῦ Ῥοδίω̣[ν ἀποφαίνεσθαι? περὶ τᾶ]ς χώρα̣ς** ὑπὲρ

ἆ̣ς ἀ̣μ̣[φισβατοῦντι Σάμι]οι ποτὶ Πριανε[ῖς κ]α̣ὶ Πρι-

[ανε. c.6. . ]ο̣ις **κ̣α̣ὶ τοῦ φρουρίου ὃ καλεῖ[τ]αι Κ̣[ά]-**

**ριον** ὑπὲρ οὗ ἀμφισβατοῦντι Σάμιοι καὶ Πριανεῖς, […]

[ἀμῶν ἐφε]ο̣ραμ̣ε̣[να, **καὶ ἐκρί]ναμεν ε̣[ἵμειν?]**

**[τὸ φρούριον ὃ κα]λεῖται Κάριον κα[ὶ τ]ὰμ̣ [περὶ]**

**[αὐτὸ χώ]ραν ἐπείμειν Πριανέων· […]**

ἔφασαν δὲ Σάμιοι […]

[. . . . . c.15. . . . . . ] **Κάριον καὶ Δρυοῦ[σσαν, καὶ ἐπε]δείκ̣ν̣[υον ἐν]**

**[ταῖς Μαιανδρ]ίου τοῦ Μιλησίου ἱστο[ρίαις** κατακε]χωρισμ[ένον,]

[διότι καὶ **ἁ] λοιπὰ χώρα ἁ Μελιὰς [ὑπὸ Ἰώνων κοινο]ῦ? αὐτοῖς ἐ-**

**[δόθη** μ]ετὰ τὸμ πόλεμον τὸμ Με[λιακόν, ἐφ’ ὧι νέμε]σθαι αὐτᾶ[ς . c.2. ]

[. c.5. ] **παρὰ μὲν Μιλησίων** Ἀκ[άδαμιν] καὶ **ἐπὶ? τοῖ]ς αὐτοῖς Θή[βας]**

**[καὶ Μ]αραθήσιον,** καθὼ[ς καὶ τὸ Ἰώνων κοιν]ὸν ὑπὲρ αὐ[τῶν]

[ἔκρινε] Πανιωνίοις [ἐν συλλόγωι, **παρὰ] δὲ Κολοφωνίω[ν]**

**Ἄναια** [—][…]

**ἔ]φ̣α̣σα̣[ν δὲ Πριανεῖς** —] […]

**εἰς τὸ Κ[άρι]ον […]εἰς τὸ Κάριον**, […]**ἐόντες ἐν τῶι Καρίωι, […]**

**κατελθόντε̣ς ἐκ τοῦ Καρίου ἐς τὰμ**

**πόλιν** ἐπὶ στ[εφα]ναφόρου Λύκου, **καὶ τὸ φρούριον ἔχειν καθὰ**

**καὶ πρότερο[ν**, […]

[μέρη τινά, διελόντες εἰς] ἄλλους κλάρους πέντε. **ἔφα[σαν δὲ Σάμιοι]**

**[. c.5. ὑπὸ Πριανέων τὸ φρού]ριον αὐτῶν παραιρῆσθαι** καὶ [—]

[. . . . . . . . . . c.25. . . . . . . . . . . ] **ἀποστέλλοντες ποτὶ Λυ[σίμαχον]**

[. . . . . . . . . c.23. . . . . . . . . . ] **τὸ φρούριον αὐτῶν παραιρ[ῆσθαι**] [...]

**ὑπὲρ δὲ τοῦ Καρίου]**

**καὶ τᾶς περὶ τὸ Κάριον χώρας οὐθεὶς ἀμφεσβάτει· [...]**

**ἀμὲς δὲ θεωροῦντες τοὺς γράψαντας τὸμ [πόλεμον τὸμ] Μελια-**

**κὸν** καὶ τὰν διαίρεσιν τᾶς χώρας τοὺς μὲν ἄλλους πάντας φαμένους **ἐκ τᾶς διαιρέσιος λ[αχ]ό̣[ντας Σαμίους]**

**Φύγελα, [...]**

**ἔλαχον**

**Φύγελα· μόνον δὲ ἐν ταῖς ἐπιγεγραμμέναις Μαιανδρίου τοῦ Μιλησίου** ἱστορίαις κατακεχωρισμένον **διότι ἔλαχον**

**Σάμιοι Κάριον καὶ Δρυοῦσσαν· [...]**

**ποτὶ δὲ τὸν Λυσίμαχον ἀ[ποστ]εῖλαι ὑπὲ[ρ τ]ο̣ῦ Βατινήτο[υ** ἐπὶ στε]-

φαναφόρου τοῦ θεοῦ τοῦ μετὰ Νίκανδρον, ὅς ἐστι ἀπὸ Λύκου πεντε[και]δέκατος, **καὶ ἀπὸ κήνου τοῦ χρόνου**

**ἐχόντων αὐτῶν καὶ τὸ φρούριον καὶ τᾶς χώρας τᾶς περὶ τὸ φρούριον [πε]πρακότων κλάρους τεσσεράκοντα**

**καὶ δύο, οὐκ ἀγανακτῆσαι τοὺς Σαμίους οὐδ’ ἀποστεῖλαι πὸτ αὐτοὺς π[ρ]εσβείαν ἐγκαλοῦντας ἐπὶ τοῖς διωι-**

**κημένοις, [...]**

**ἐκρίνομεν τὸ φρούριον καὶ τὰν περὶ τ]ὸ φρούριον χώραν εἶμειν Πριανέων [...]**

Βιβλιογραφία


- Ager, S., 1989, AHB 3.5, 107 – 14.
- Ager, S., 1996, Interstate Arbitrations in the Greek World, Berkeley.
- Kallet – Marx, R., 1995, Hegemony to Empire: The Development of Roman Imperium in the East from 148 to 62 B.C., Berkeley.
- Sherk, R., 1969, Roman Documents from the Greek East, Baltimore.
- Shipley, G., 1987, A History of Samos, 800 – 188 B.C., Oxford: Clarendon Press.
- Tod, M.N., 1913, International Arbitration Amongst the Greeks, Oxford.